γείτονας, γείτονι. συνόδῳ, πρὸς συνόδους. πολίτῃ, πρὸς πόλιν. ἔτι δὲ πρὸς δὺ
ὁποῖα θεράποντι καὶ ἔργῳ πρὸς δεσπότην τε καὶ δημιουργόν, οὕτω ταῦτα ἀποδιδοὺς
ἑαυτοῦ τε σώσει τοῦτο αὐτὸ ὅπερ ἐστὶ πρὸς ἕκαστον, θεῶν τε ἐφεῖται, ἢ τέτακται,
μάλιστα χώρᾳ ἐμμένων. ἄριστά τε ἕξει, ὡς ἂν τοῖς ἀρίστοις ἑπόμενος. εἴη τε ἂν δι-
καιοσύνη εἴη τὸ μόριον ἀρετῆς, ἕξις ψυχῆς, σώζουσα τὸ προσῆκον αὐτῷ ἑκάστῳ
ἡμῶν, ὅπερ ἐσμὲν πρὸς ἕκαστον. ἐπεὶ δὲ καθ' αὑτὸν ὁ ἄνθρωπος γέγονεν οὐκ ἄλλο
τι μάλιστα ἢ λογικόν τι ζῷον, δῆλον δὲ ὅτι ὡς θεωρός τις οἷόνπερ ἐν πανηγύρει
τῷδε τῷ παντὶ εἰσῆκται, ἐπισκεψόμενος εἰς δύναμιν καὶ θεωρήσων τί τε ἐστι
τῶν ὄντων ἕκαστον, καὶ ὅπῃ ποτὲ πρὸς ἄλληλα ἔχει, καὶ διὰ τί ἕκαστα γίγνεται τῶν
γιγνομένων. εἴη τε ἂν καὶ τοῦτο φρόνησις τὸ λοιπὸν καὶ τελεώτατον μόριον ἀρε-
τῆς, ἕξις ψυχῆς θεωρητικὴ τῶν ὄντων, ᾗπερ ἐστὶν ἕκαστα. εἶναί τε τέτταρα
μὲν τὰ μέγιστα μόρια ἀρετῆς, σωφροσύνην, ἀνδρίαν, δικαιοσύνην, φρόνησιν
τούτων δ' αὖ ἑκάστου τρία μόρια ἰδεῖν εἶναι. πρώτου μέν, σωφροσύνης, ἐπεὶ ἐστι
σωφροσύνη, αὐτάρκεια τῶν πρὸς τὸν βίον ἀναγκαίων. τριῶν δὲ τούτων πρὸς
τὸν βίον δεόμεθα, ἡδονῶν, χρημάτων, δόξης, ἐφ' ἑκάστῳ τούτων εἴη ἄν τι μόρι-
ον σωφροσύνης φυλάττον τὸ αὔταρκες καὶ χρήσιμον ἑκάστου. ἐπὶ μὲν ἡδο-
ναῖς, κοσμιότης. ἐπὶ δὲ χρήμασιν, ἐλευθεριότης. ἐπὶ δὲ δόξῃ, μετριότης.
ἀνδρία δέ, ἐπεὶ ἐστιν ἀπάθεια ὑπὸ τῶν καὶ τῶν βίου βιαίων παθημάτων. τού-
των δὲ τὰ μὲν αὐτοὶ ἐθελονταὶ ὑφιστάμεθα μειζόνων ἕνεκα ἀγαθῶν, ὡς
ὅταν πόνους, ἢ κινδύνους, ἢ τι ἄλλο προσαιρώμεθα, ὧν ἄνευ μὴ οἷόν τε εἴη
τῶν δεόντων τυχεῖν. τὰ δ' ἀκούσια καὶ οὐ προσδεχομένοις ἔπεισι, τούτων τε αὖ
τὰ μὲν ὡς ἁπλῶς ἐπιὸν παρὰ τοῦ θείου τε καὶ τοῦ ὅλου τοῦ διατάττοντος, οἷαί
περ αἱ καλούμεναι ξυμφοραί. τὰ δ' αὖ παρὰ ἀνθρώπων, οἷαίπερ αἱ παρ' ἐνίων
πρὸς ἡμᾶς δυσκολίαι τε καὶ δυσχέρειαι, εἴη ἂν καὶ ἐφ' ἑκάστῳ τούτων ἴδιόν τι
μόριον ἀνδρίας σῶζον τὸ ἀκίνητον καὶ ἀπαθὲς ὑπὸ τῶν χειρόνων ἑκάστου.
γενναιότης μὲν ἐπὶ τοῖς αἱρετοῖς. ἐπὶ δὲ τοῖς ἀκουσίοις, εὐψυχία μὲν ἐπὶ
τοῖς παρὰ τοῦ θείου. πρᾳότης δὲ ἐπὶ τοῖς παρὰ ἀνθρώπων. δικαιοσύνη δὲ ἐπεὶ ἐστι
σωτηρία ἡμῶν τούτου αὐτοῦ οὗπερ ἐσμὲν πρὸς ἕκαστον. ἐσμὲν δὲ δὴ θεῶν μὲν
ἔργα τε καὶ κτήματα, ἀνθρώποις δὲ ξυγγενεῖς τε πᾶσι, κἂν πρὸς ἀλλήλους ἄλ-
λως πως ἔχοιμεν, εἴη ἂν καὶ αὐτῆς, ὁσιότης μὲν ἐπὶ τοῖς πρὸς τὸ θεῖον. ἐπὶ δὲ
τοῖς πρὸς ἀνθρώπους, πολιτεία μέν, πρὸς τὰ κοινά. χρηστότης δ' αὖ πρὸς τὰ ἰδιω-
τικά. φρόνησις δέ, ἡ μὲν περὶ τὰ θεῖά τε καὶ τὰ ἀεὶ ὄντα. ἡ δέ, περὶ τὰ ἡ-
μέτερά τε καὶ ἀνθρώπεια. ὡς εἴη ἂν καὶ αὐτῆς, ἡ μὲν περὶ ταῦτα δὴ τὰ ἀνθρώπεια, εὐ-
βουλία. ἡ δὲ περὶ φύσιν, φυσική. ἡ δ' αὖ περὶ τὰ θεῖα, θεοσέβεια. αἱ μὲν δὴ
τῶν ἀρετῶν ἰδέαι, αὗταί τε καὶ τοσαῦται, ὡς καὶ τὸ εἰκὸς διελεῖν. ἐνὸν μὲν καὶ
εἰς πλείω τε καὶ καὶ σμικρότερα, ἀποχρῶν δ' ἴσως καὶ ἄχρι τοσούτων. τούτων δὲ
ἀρχὴ μὲν μάλιστα ταῖς ἄλλαις, ὅθενπερ ἀρξάμενοι καὶ τῶν λοιπῶν ἑκάστην ῥᾷον
κτήσαιτ' αὖτις, ἥ γε κοσμιότης εἴη ἄν, τῶν γὰρ ἡδονῶν αἱ πρῶται ἡμῶν, κἀκ
νέου τυραννοῦσι μάλιστα, ἐπιχειρεῖ κρατεῖν αὐτῶν ἡ ἀρετή, διελομένη τὰς μὲν ἀν-
αγκαίας αὐτῶν, τὰς δέ, μή. καὶ τῶν μὴ ἀναγκαίων αὖ ἐνίας, παρανόμους τε καὶ
μοχθηροτάτας, καὶ οὐκ ἄνω πρεπούσας. καὶ ταύτας μὲν παντάπασιν ἀπωσαμέ-
νη τε καὶ ἐκκόψασα τῆς ψυχῆς, αὐτάς τε καὶ ἐπιθυμίας αὐτῶν. τὰς δ' ἀναγκαίας
πρὸς τὸν βίον, τοῦτο τε ἴδιον ἑκάστου, καὶ τὸν κοινόν, προσαιρουμένη. τῶν δέ γε μὴ
ἀναγκαίων μέν, οὐ μοχθηρῶν δέ, αὐτῶν μὲν ὀλιγωροῦντα, τὰς δὲ ἐπιθυμίας
καὶ παντάπασιν ἐκκόπτουσα, ἵνα δὴ εἰς δύναμιν ἀνεπιδεής τις ᾖ, τῇ αὐταρκείᾳ
χαίρων μᾶλλον, ἢ αὐταῖς ταῖς διὰ τοῦ σώματος ἡδοναῖς. εὐθὺς οὖν αὕτη ἡ ἀρε-
τὴ τῶν μὲν θηρείων καὶ χειρόνων, ἀπέχεται δεῖσθαι ἡμᾶς, ἀλλὰ τῶν ἡδέων τε καὶ μή, τό τε